Ακαδημία Αθηνών / Academy of Athens

*ρὰ καὶ ἐκ τούτων εἰς τὰ δ ε ξ ι ά.* || **δεξιόν** (ἀντίθ. *ἀριστερόν*). Πυθαγόρειοι 5 (DK I 452,40) ἕτεροι δὲ τῶν αὐτῶν τούτων τὰς ἀρχὰς δέκα λέγουσιν εἶναι τὰς κατὰ συστοιχίαν λεγομένας ... *δ ε ξ ι ὸ ν καὶ ἀριστερόν.*

**δέον.** Βλ. **δεῖν.**

**δέρκεσθαι** (συνών. *θεᾶσθαι, θεωρεῖν*). Βλέπω, see, Ἐμπεδοκλῆς 17.21 *τὴν* (sc. *Φιλότητα*) *σὺ νόῳ δ έ ρ κ ε υ, μηδ' ὄμμασιν ἧσο τεθηπώς* 21.1 *ἀλλ' ἄγε, τόνδ' ὀάρων προτέρων ἐπιμάρτυρα δ έ ρ κ ε υ.* Πρβλ. *βλέπειν, ὁρᾶν, ὀξυδερκείη.*

**δέρμα.** Δέρμα, skin, Διογένης 6.37-42 *ὅταν τι ὑπὸ τὸ δ έ ρ μ α λυπῇ ... ἕτεραι δ' ὑπὸ τὸ δ έ ρ μ α.*

**δεσμὸς 1.** Δέσιμο, binding, Παρμενίδης 8.26-31 *αὐτὰρ ἀκίνητον μεγάλων ἐν πείρασι δ ε σ μ ῶ ν ἔστιν ἄναρχον ἄπαυστον ... κρατερὴ γὰρ Ἀνάγκη πείρατος ἐν δ ε σ μ ο ῖ σ ι ν ἔχει* Ἀρχέλαος 1a *ἡ ψυχρότης δ ε σ μ ό ς ἐστιν* **2.** Δεσμὰ φυλακῆς, prison bonds, Δημόκριτος 262.2 *οἳ φυγῆς ἄξια ἔρδουσιν ἢ δ ε σ μ ῶ ν ἢ θωιῆς ἄξιοι, καταψηφιστέον καὶ μὴ ἀπολύειν.*

**δεσπόζειν.** Ἐξουσιάζω/κυριαρχῶ, dominate, Δημόκριτος 214 *ἔνιοι δὲ πολίων μὲν δ ε σ π ό ζ ο υ σ ι, γυναιξὶ δὲ δουλεύουσι.*

**δεύεσθαι.** Διαποτίζομαι/βρέχομαι, be saturated/soaked, Ξενοφάνης 3.6 *ἀσκητοῖσ' ὀδμὴν χρίμασι δ ε υ ό μ ε ν ο ι* Ἐμπεδοκλῆς 21.4 *ἄμβροτα δ' ὅσσ' εἴδει τε καὶ ἀργέτι δ ε ύ ε τ α ι αὐγῇ* 128.8 *ταύρων δ' ἀκρήτοισι φόνοις οὐ δ ε ύ ε τ ο βωμός.*

**δέχεσθαι.** Δέχομαι/ἐπιδέχομαι, receive/admit, Ἐμπεδοκλῆς 115.12 *ἄλλος δ' ἐξ ἄλλου δ έ χ ε τ α ι, στυγέουσι δὲ πάντες* Φιλόλαος 11.21 *ψεῦδος δὲ οὐδὲν δ έ χ ε τ α ι ἁ τῶ ἀριθμῶ φύσις οὐδὲ ἁρμονία* Πυθαγόρειοι C 6 (DK I 466,2) *μηδὲ χελιδόνας ἐν οἰκίᾳ δ έ χ ε σ θ α ι* Δημόκριτος 92 *χάριτας δ έ χ ε σ θ α ι χρεὼν προσκοπευόμενον κρέσσονας αὐτῶν ἀμοιβῆς ἀποδοῦναι.*

**δῆλος** (συνών. *φανερός*, ἀντίθ. *ἄδηλος, ἀφανής*). Φανερός/σαφής, clear/evident, Ἐμπεδοκλῆς 3.9-13 *ἀλλ' ἄγ' ἄθρει πάσῃ παλάμῃ, πῇ δ ῆ λ ο ν ἕκαστον ... νόει δ' ᾗ δ ῆ λ ο ν ἕκαστον* 23.10

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*θνητῶν, ὅσσα γε* δ ῆ λ α *γεγάκασιν ἄσπετα* Φιλόλαος 11.9 *οὐ γὰρ ἧς* δ ῆ λ ο ν *οὐδενὶ οὐδὲν τῶν πραγμάτων οὔτε αὐτῶν ποθ' αὑτὰ οὔτε ἄλλω πρὸς ἄλλο, εἰ μὴ ἧς ἀριθμὸς καὶ ἁ τούτω οὐσία.* || **δῆλον** *(ἐστί).* Φανερὸ/προφανὲς (εἶναι), (it is) clear/obvious, Ζήνων 2.6 *εἰ δὲ ἀπογινομένου τὸ ἕτερον μηδὲν ἔλαττον ἔσται μηδὲ αὖ προσγινομένου αὐξήσεται,* δ ῆ λ ο ν *ὅτι τὸ προσγενόμενον οὐδὲν ἦν οὐδὲ τὸ ἀπογενόμενον* Μέλισσος 8(5) δ ῆ λ ο ν *τοίνυν, ὅτι οὐκ ὀρθῶς ἑωρῶμεν οὐδὲ ἐκεῖνα πολλὰ ὀρθῶς δοκεῖ εἶναι* Φιλόλαος 2.5 *ἐπεὶ τοίνυν φαίνεται οὔτ' ἐκ περαινόντων πάντων ἐόντα οὔτ' ἐξ ἀπείρων πάντων,* δ ῆ λ ο ν *τἆρα ὅτι ἐκ περαινόντων τε καὶ ἀπείρων ὅ τε κόσμος καὶ τὰ ἐν αὐτῷ συναρμόχθη* 'Αρχύτας 1.45 *ὥστε* δ ῆ λ ο ν *ὅτι ἁ ταχεῖα κίνασις ὀξὺν ποιεῖ, ἁ δὲ βραδεῖα βαρὺν τὸν ἆχον* Διογένης 8 *ἀλλὰ τοῦτό μοι* δ ῆ λ ο ν *δοκεῖ εἶναι* Δημόκριτος 8 *καίτοι* δ ῆ λ ο ν *ἔσται, ὅτι ἐτεῇ οἷον ἕκαστον γιγνώσκειν ἐν ἀπόρῳ ἐστὶ* 278.3 δ ῆ λ ο ν *δὲ καὶ τοῖς ἄλλοις ζῴοισι· πάντα γὰρ ἔκγονα κτᾶται κατὰ φύσιν ἐπωφελείης γε οὐδεμιᾶς εἵνεκα.* Πρβλ. *δηλοῦν.*

**δηλοῦν 1.** Δείχνω/ἀποδεικνύω, show/prove, Φιλόλαος 2.7 δ η λ ο ῖ *δὲ καὶ τὰ ἐν τοῖς ἔργοις* Δημόκριτος 7 δ η λ ο ῖ *μὲν δὴ καὶ οὗτος ὁ λόγος, ὅτι ἐτεῇ οὐδὲν ἴσμεν* **2.** Φανερώνω, bring to light, 'Αρχύτας 3.16 *τοὺς δὲ μὴ ἐπισταμένους, ἐν αὐτῷ* δ η λ ώ σ α ς *ἀδικοῦντας, ἐκώλυσεν ἀδικῆσαι.* || **δηλοῦσθαι.** 'Αποδεικνύομαι/καταδεικνύομαι, be demonstrated, Διογένης 4 *καὶ τοῦτο αὐτοῖς ψυχή ἐστι καὶ νόησις, ὡς* δ ε δ η λ ώ σ ε τ α ι *ἐν τῇδε τῇ συγγραφῇ ἐμφανῶς* Δημόκριτος 10 *ἐτεῇ μὲν νῦν ὅτι οἷον ἕκαστον ἔστιν <ἢ> οὐκ ἔστιν οὐ συνίεμεν, πολλαχῇ* δ ε δ ή λ ω τ α ι.

**δημιουργία** (συνών. *ἔργον*). Κατασκευή, construction, Φιλόλαος 11.19 *καὶ κατὰ τὰς* δ η μ ι ο υ ρ γ ί α ς *τὰς τεχνικὰς πάσας καὶ κατὰ τὰν μουσικάν.* Πρβλ. *τεχνικός, τέχνη, σοφία.*

**δημοκρατίη.** Δημοκρατία, democracy, Δημόκριτος 251 *ἡ ἐν* δ η μ ο κ ρ α τ ί η *πενίη τῆς παρὰ τοῖς δυνάστῃσι καλεομένης εὐδαιμονίης τοσοῦτόν ἐστι αἱρετωτέρη, ὁκόσον ἐλευθερίη δουλείης.*

**δῆμος 1.** Λαός, people, 'Ηράκλειτος 44 *μάχεσθαι χρὴ τὸν* δ ῆ μ ο ν *ὑπὲρ τοῦ νόμου ὅκωσπερ τείχεος* 104.2 *τοῖσι* δ ή μ ω ν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ